συναλλάξει αὐτῶν πρὸς τὴν μάχην, καὶ τὸν ἀγῶνα προτρέψει. Ἐλεῖ μου.] αἱρήσει. τὸ δὲ ἑλῶ μέλλων β. ἀπὸ τοῦ ἕλω θέματος ἀχρήστου. ἔνι δὲ, ἀντὶ τοῦ ἔνεστι.

CHR. Αἴρεσθ' ὦ γυναῖκες.] Si legamus ἀρύετ' A ὦ vel ἀρύσατ' ὦ, hic erit versus Tetrameter catalecticus Iambicus, similis proximo sequenti. Paulò post lego ἐπίπαν vna voce, & ἕνεχ' αἷς pro ἕνεκα non autem ἕνεχ' quasi ab ἐνέχω.

| | | |
|---|---|---|
| Ἔνι δὲ θράσος, ἔνι δὲ | | *Quibus anima sapit* |
| Σοφὸν, ἔνι φιλόπολις | | *Rigida, cata, patriæ &* |
| Ἀρετὴ φρόνιμος. | | *Pietatis amans.* |
| Ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτων καὶ μητριδίων ἀκαληφῶν. | B | *Sed vos matricum vrticarum & generosarum vetularum* |
| Χωρεῖτ' ὀργῇ καὶ μὴ τέγγεσθ'. ἔτι γὰρ νῦν οὔρια θεῖτε. | | *Ite iræ, nusquam cedite, namque secunda curritis aura.* |
| Λυ. Ἀλλ' ἤνπερ ὅ γλυκύθυμος Ἔρως χ' ἡ Κυπρογενὴς Ἀφροδίτη | | LVS. *At si flexanimus Amor materque Venus dea candida Cypris* |
| Ἵμερον ἡμῶν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν καταπνεύσῃ | | *Nostra in femora atque sinus desiderij dulce inlicium adflet* |
| Κᾆτ' ἐντέξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ ῥοπαλισμούς, | C | *Dein suaue viris tentum ingeneret, rigidique rutabula penis,* |
| Οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι. | | *Nos Lysimachas, vt opinor, Græcia quondam tota vocabit.* |
| Πρ. Τί ποιησάσας; Λυ. ἢν παύσωμεν πρώτιστον μὲν ξὺν ὅπλοισιν | | PR. *Ob quod facinus?* LVS. *si desierint emere & mercarier armis* |
| Ἀγοράζοντας καὶ μαινομένους περ νὴ τὴν Παφίαν Ἀφροδίτην. | | *Induti atque insanis similes Paphiæ per numen amicum.* |
| Νῦν μὲν γὰρ δὴ καὶ ταῖσι χύτραις καὶ τοῖς λαχάνοις ὁμοίως | | *Quippe solent nunc ollarum olerumque instar circum ire macellum,* |
| Περιέρχονται κατὰ τὴν ἀγορὰν ξὺν ὅπλοις ὥσπερ Κορύβαντες. | D | *Et in armis omne forum celebrare, putes esse hos Corybantas.* |
| Πρ. Νὴ Δία· χρὴ γὰρ τοὺς ἀνδρείους. Λυ. καὶ μὴν τό γε πρᾶγμα γέλοιον, | | PR. *Etenim fortes sic ire decet.* LVS. *Sed certè hæc ridicula est res.* |
| Ὅτ' ἂν ἀσπίδ' ἔχων καὶ γοργόνα τις, κᾆτ' ὠνεῖται κορακίνους. | | *Si quis clypeo & galea armatus mercetur deinde saperdas.* |
| Ἀλλ. Γυν. Νὴ Δί' ἔγωγ' οὖν ἄνδρα κομήτην φυλαρχοῦντ' ἴδον ἔφιππον | | AL. M. *Vidi & ego Tribunum Celerum crinicomantem in equoque vehentem* |
| Ἐς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός. | E | *Ouum à vetula quadam sumptum in petasum demittere ahenum:* |
| Ἕτερος δὲ Θρὰξ πέλτην σείων κἀκόντιον ὥσπερ ὁ Τηρεὺς | | *Alter quatiens peltam & iaculum velut esset Tereus alter* |
| Ἐδεδίσκετο τὴν ἰσχαδόπωλιν, καὶ τὰς δρυπέτεις κατέπινεν. | | *Terrebat anum ficus vendentem, maturasque vocabat.* |
| Πρ. Πῶς οὖν ὑμεῖς δύνασθε παῦσαι τεταραγμένα πράγματα πολλά. | | PR. *Qui vos igitur nunc possitis turbata negotia multa* |
| Ἐν ταῖς χώραις καὶ διαλῦσαι; Λυ. φαύλως πάνυ. Πρ. πῶς; ἀπόδειξον. | F | *Sedare & soluere? nil minus, at mihi demonstra tamen illud.* |
| Λυ. Ὥσπερ κλωστῆρ' ὅτ' ἂν ἡμῖν ᾖ τεταραγμένος ὧδε λαβοῦσαι | | LVS. *Confusa velut subtemina filorum persæpe solemus* |
| Ὑπενεγκοῦσαι τοῖσιν ἀτράκτοις, τὸ μὲν ἐνταυθί, τὸ δ' ἐκεῖσε, | | *Subducere fusis, atque huc atque illuc deuoluere tracta* |
| Οὕτως καὶ τὸν πόλεμον τοῦτον διαλύσαιμεν ἤν τις ἐάσῃ, | | *Sic huncce glomum belli facilè exsoluemus, ni prohibemur,* |
| Διενεγκοῦσαι διὰ πρεσβειῶν, τὸ μὲν ἐνταυθί, τὸ δ' ἐκεῖσε. | G | *Distractum, & per feciales pacificos huc diditum & illuc.* |

BIS. Ἀλλ' ὦ τήθων.] Τὸ πλῆρες, ὦ ἐκ τήθων ἀνδρειοτάτων καὶ μητριδίων ἐκγεγονυῖαι. τήθας δὲ ἐκάλουν τὰς μάμμας, καὶ τηθίδας, τὰς θείας, τὰς πατρὸς ἢ μητρὸς ἀδελφάς. τήθας δὲ καὶ τὰς τροφούς. εἰσὶ δὲ καὶ ὄστρεα θαλάσσια, Ὅμηρος,

Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν.